ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν. ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε, οὐχ ὥςπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν αἰχμαλώτους πολίτας ὑμετέρους ᾤχετ' ἔχων, πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν ἀμύθητα χρήματ' ἐξέλεξε, τὰ τελευταῖα εἰς Μαραθῶνα ἀπέβη καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' ἔχων τριήρη,

ἔχων b cum $\Sigma T(\alpha\epsilon\vartheta)^m A^I \psi$: erat ἄγων. — πρὸς b cum Σ: erat καὶ πρὸς. — εἰς b cum Σ: erat δ' εἰς. — δύνασθε

ciebant, pleraeque cum Atheniensibus societate coniunctae erant.

ἄγων καὶ φέρων] diripiens. Res, regiones, homines pariter a Graecis ἄγεσθαι καὶ φέρεσθαι dicuntur, atque diripi a Latinis. Xenoph. Anab. 5, 5, 13: οὐ γὰρ ἦν δυνατὸν ἅμα τε τὰ χρήματα ἄγειν καὶ φέρειν. Demosth. 9. §. 52: τῆς ἐκείνου χώρας — ἄγειν καὶ φέρειν ἔστι πολλήν. 18. §. 230: ἀντὶ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας.

πλέοντας] mercaturam facientes. Cf. or. 33. §. 5: διὰ τὸ εἶναί μοι τὰς διατριβὰς περὶ τὸ ἐμπόριον γνωρίμως ἔχω τοῖς πλείστοις τῶν πλεόντων τὴν θάλατταν. or. 34. §. 30. τῶν πλεόντων.

οὐχ ὥςπερ —] Similiter atque formulae οὐδὲν ἄλλο ἤ, οὐ γὰρ ἀλλά (G. Herm. ad Arist. Nub. 233.), οὐχ ὅτι, οὐχ ὅπως, aliae, ita ortae sunt, ut post negationem verbum (ποιεῖν, πάσχειν, εἶναι, λέγειν) cogitando adderetur, deinde vero fere in adverbiorum naturam abirent: similiter, inquam, οὐχ ὥςπερ particulae primum ita dictae sunt, ut ποιεῖν vel simile verbum intelligeretur, deinde vero diuturna consuetudine factum est, ut adverbii vice fungantur et significent: anders als —, contra quam. Demosth. 21. §. 218: οὐ γὰρ ἐκ πολιτικῆς αἰτίας, οὐδ' ὥςπερ Ἀριστοφῶν — ἔλυσε τὴν προβολήν, ἀλλ' ἐξ ὕβρεως κρίνεται. Plat. Gorg. p. 522. A: ὑμᾶς — ἀπορεῖν ποιεῖ, — οὐχ ὥςπερ ἐγὼ — εὐώχουν ὑμᾶς. Exempla collegerunt L. Heind. ad Plat. Protag. p. 574. Fritzsch. quaest. Luc. p. 154 sq. Saepe autem Graeci in comparationibus tantum ponunt, quid ea re fiat, quae ut alteram explicet comparatur, quid vero altera, cui illustrandae altera adhibetur, fiat omittunt. Plat. Theaet. 187. B: οὕτω μέντοι χρὴ λέγειν προθύμως μᾶλλον, ἢ ὥςπερ τὸ πρῶτον ὤκνεις ἀποκρίνεσθαι. Cf. Rückert ad Plat. Symp. p. 45.

ἔχων] secum habens. Xen. Cyrop. 2, 4, 24: τοὺς ἡμίσεις μὲν τῶν πεζῶν ἔχων, ἅπαντας δὲ τοὺς ἱππέας πορεύσομαι. 4, 2, 29: ἔχων τοὺς ἱππέας ἐπηκολούθει. Lysias 3. §. 32: ἐξέπλευσα ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον.

Γεραιστῷ] promontorium australe et oppidum Euboeae cum portu peropportuno iis, qui ex Asia Athenas traiicerent; Eur. Cycl. 295. Strabo 10. p. 446.

ἐξέλεξε] magnam vim pecuniae a mercatoribus illis exegit, quibus se suaque redimerent.

ἱερὰν — τριήρη] Salaminiam et Paralum fuisse triremes theoriis deducendis ab Atheniensibus destinatas ideoque sacras vocatas constat. Sed iam Demosthenis temporibus etiam plures

ὑμεῖς δ' οὔτε ταῦτα δύνασθε κωλύειν οὔτ' εἰς τοὺς
χρόνους, οὓς ἂν προθῆσθε, βοηθεῖν. καίτοι τί δή 35
ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων ἀεὶ τοῦ καθήκοντος χρόνου γίγνεσθαι, ἄν τε δεινοὶ λάχωσιν, ἄν τε ἰδιῶται οἱ τούτων ἑκατέρων ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτ' ἀναλίσκεται χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀπο-

ΣΥΩΑ[1]: ἠδύνασθε b.
§. 35. ἀναλίσκεται ΣΑ[1]Η: ἀναλίσκετε b.

fuisse naves sacras Boeckhius de rebus navalibus Atheniensium p. 76 sqq. bene videtur ostendisse. Hic Paralum intelligendam esse Philochoro et Androtione auctoribus Harpocratio docet (s. v. ἱερὰ τριήρης). De theoria Delica cogitandum esse conieceris, recordatus eorum quae apud schol. Sophoclis (ad O. C. 1047.) de sacrificiis Marathone a Deliastis actis narrantur. — Sed nec de hoc Philippi facinore neque de iis quae antea commemorata sunt apud alium scriptorem nunc superstitem mentio exstat: nam quod Diodorus Sic. 16, 21. de insulis istis a Rhodiis eorumque sociis direptis narrat, huc non videri referenda esse bene statuit Th. Voemel prolegg. p. 73. De tempore ante hanc orationem proximo cogitandum esse videtur ex Aeschinis or. 2. §. 72. doceri posse.

δύνασθε] Tempus praesens et ea quae sequuntur *οὓς ἂν προθῆσθε* tuentur et cum vi multo maiore dicitur, cum ab Atheniensibus etiamnunc similia Philippi facinora impediri non posse ostendat. — De accentu v. *προθῆσθε* v. Excursus 4.

§. 35. *τί δή*] Matth. gr. §. 488, 8.

Παναθηναίων ἑορτήν] De Panathenaeis eorumque curatoribus, decem athlothetis, et de Dionysiis magnis iisque, quibus cura eorum rite celebrandorum commissa erat, archonte eponymo et decem curatoribus (*ἐπιμεληταῖς*) cf. C. F. Herm. antiqu. §. 161, 2. 7. 150, 1. 3. Wachsmuth. ant. Gr. 2, 2. p. 246 sqq. 252 sqq. — Quum vero hic *οἱ ἐπιμελούμενοι* sorte creati esse dicantur, et hoc patet, de decem illis *ἐπιμεληταῖς* cogitari non posse (cf. Demosth. 21. §. 15.), sed Demosthenem Dionysiorum curam uni archonti tribuere, et illud consequitur, *ἀθλοθέτας* sorte creatos esse. Quod quum Hermannus propter locum Plut. Pericl. c. 13. negaret, Pollucis locum (8, 87.) corrigi voluit. Sed Demosthenis auctoritate Pollucis testimonium satis confirmatur et Plutarchus vel erravisse putandus vel, quod malim, ita statuendum est, ut Periclem ad dirigenda certamina musica tum primum instituta extra ordinem creatum esse putemus.

δεινός· *σοφός*, *ἔμπειρος*. Bekk. anecd. p. 234, 25. *ἰδιώτης*· *ὁ ἄπειρος*. ibid. p. 265, 30. idiota, un idiot.

ἀναλίσκεται] *ἀναλίσκετε* in tanta commutationis facilitate ab iis positum est, qui non viderent ea quae sequuntur, *ὄχλον καὶ παρασκευήν*, pendere e verbo *ἔχει*, ita ut ex verbis quae sunt *εἰς ἃ* — nominativum suppleri oporteat. — Ol. 92, 3. athlothetis ex thesauro Minervae Po-

στόλων, καὶ τοσοῦτον ὄχλον καὶ παρασκευήν, ὅσην οὐκ οἶδ' εἴ τι τῶν ἁπάντων ἔχει, τοὺς δ' ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώνην,
36 τὸν εἰς Παγασάς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ προόιδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ, τίς χορηγὸς ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε καὶ παρὰ τοῦ καὶ τίνα λαβόντα τί δεῖ ποιεῖν· οὐδὲν ἀνεξέταστον οὐδ' ἀόριστον ἐν τούτοις ἠμέληται, ἐν δὲ

παρασκευήν ΣΤΑ[1]: τοσαύτην παρασκευήν b. — τι b cum ΣΑ[1]: erat τις.

§. 36. τίνα Σ: τί b. — εἶτ' ἀντεμβιβάζειν Σ: ἀν-

liadis ad Panathenaea magna celebranda quinque talenta et mille drachmas erogata esse legimus apud Boeckhium corp. inscr. 147. v. 6. ὄχλον de choreutis, tibicinibus, choregis, gymnasiarchis, omnibus iis qui ad varia certamina prodirent vel pompas ducerent, intelligendum est. παρασκευὴ vasa pretiosissima, vestitum, exercitationum varia genera, alia complectitur. — τῶν ἁπάντων genus neutrum esse apparet.

§. 36. τίς] sc. ἔσται. or. 20. §. 20: σκεψώμεθα δή, τί τοῦτο τῇ πόλει. Sic enim recte pr. Σ, quum vulgo legatur τί τοῦτ' ἔσται τῇ πόλει. — De choregis et gymnasiarchis eorumque muneribus v. Hermanni antiqu. §. 161, 2. 3. Schoemanni antiqu. 5. §. 79.

τίνα] Neutrum plurale pron. interrogativi et indefiniti et librariis et hominibus philologis saepe displicuit; cf. Plat. Lysid. 209. A. Protag. 328. B. Phaedon. 58. C. Aeschin. or. 1. §. 13.

οὐδὲν] asyndeton Schaefero aliisque displicuit; cf. §. 33. — Neque maiore iure haeserunt in eo, quod copula nulla ante v. πότε addita est: quantum enim roboris accedat, quum oratio ita quasi denuo incipere videatur, facile patet.

ἀνεξέταστον — ἠμέλη-ται] cf. §. 8: πεπηγέναι — ἀθάνατα.

τὰ περὶ τοῦ πολέμου] quae ad bellum pertinent. Similia collegit Bernhardy S. Gr. p. 262.

ἅμα] simulatque audivimus aliquid, trierarchos constituimus —. Lysias 28. §. 7: ἅμα γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι. Isocr. 4. §. 157: ἅμα διαλλάττονται καὶ τῆς ἔχθρας — ἐπιλανθάνονται. Paratacticum dicendi genus pro hypotactico.

τριηράρχους] De trierarchia accuratissime exposuit A. Boeckhius oecon. publ. Ath. II. p. 79 sqq. et de re navali Ath. p. 166 sqq. — Eo tempore, quo haec oratio habita est, symmorias sumtibus praebendis institutas fuisse constat; trierarchos vero tum non certo quodam tempore in annos singulos creatos, sed quum expeditio suscipienda esset a strategis constitutos esse hoc loco docemur; cf. or. 14. §. 23. καθιστάναι et καθίστασθαι voces de his rebus solemni usu dicuntur.

ἀντιδόσεις ποιούμεθα] cf. Boeckh. de oecon. publ. Ath. II. p. 122 sqq. Hanc bonorum permutationem trierarchis concessam differre ab ea, ad quam quotannis cives summo censu censi ab imperatoribus provocari solebant (Demosth. or.

τοῖς περὶ τοῦ πολέμου καὶ τῇ τούτου παρασκευῇ ἄτα-
κτα, ἀδιόρθωτα, ἀόριστα ἅπαντα. τοιγαροῦν ἅμα ἀκη-
κόαμέν τι καὶ τριηράρχους καθίσταμεν καὶ τούτοις ἀν-
τιδόσεις ποιούμεθα καὶ περὶ χρημάτων πόρου σκοποῦ-
μεν, καὶ μετὰ ταῦτα ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε καὶ
τοὺς χωρὶς οἰκοῦντας, εἶτ' αὐτοὺς πάλιν, εἶτ' ἀντεμβι- 37
βάζειν, εἶτ' ἐν ὅσῳ ταῦτα μέλλεται, προαπόλωλε τὸ
ἐφ' ὃ ἂν ἐκπλέωμεν· τὸν γὰρ τοῦ πράττειν χρόνον εἰς

τεμβιβάζειν b.
§. 37. μέλλεται Σ: μέλλετε b. — τὸ ἐφ' ὃ Σ: ἐφ' ἃ b.

42. §. 4.), ex eo apparet, quod trierarchi tum demum de ea cogitare poterant, quum urgente belli necessitate ab imperatoribus designati essent. Neque vero solum permutationem bonorum trierarchos designatos aliis obtulisse, sed etiam aliis excusationibus haud raro usos esse, quae utrum sonticae essent nec ne iudices decernerent, discimus ex iis quae Demosth. habet or. 35. §. 48: *τοὺς τριηράρχους καθιστᾶσιν οὗτοι (οἱ στρατηγοὶ) εἰςάγοντες εἰς τὸ δικαστήριον*, et ex titulo navali (apud Boeckh. l. d. p. 464): *ὅπως δ' ἂν αἱ σκήψεις εἰςαχθῶσι, τοὺς θεσμοθέτας παραπληρῶσαι δικαστήρια εἰς ἕνα καὶ διακοσίους τῷ στρατηγῷ τῷ ἐπὶ τὰς συμμορίας ᾑρημένῳ.*

περὶ χρημάτων πόρου] Postquam largitione publica reditus consumi coepti sunt, res satis difficilis erat belli necessitate instante sumtus suppeditare; or. 1. §. 19 sqq.; cf. Herm. antiqu. Gr. §. 151, 16. 171, 13.

ἔδοξε] Rost. gr. §. 116. annot. 4. — Non iam de remigibus agitur, sed de militibus in navibus mittendis. De metoecis cf. Herm. ant. §. 115. Schoem. ant. 5. §. 17. Boeckh. oecon. publ. Ath. I. p. 281.

χωρὶς οἰκοῦντας] Harpocrat. p. 177, 4: *οἱ ἀπελεύθεροι καθ' αὑτοὺς ᾤκουν, χωρὶς τῶν ἀπελευθερωσάντων.* Bekk. anecd. p. 316, 11: *χωρὶς οἰκοῦντες: οἱ ἀπελεύθεροι, ἐπεὶ χωρὶς οἰκοῦσι τῶν ἀπελευθερωσάντων. ἢ δοῦλοι χωρὶς οἰκοῦντες τῶν δεσποτῶν.* Libertinos intelligendos esse docent loci Demosth. 47. §. 72: *ἀφεῖτο γὰρ ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐλευθέρα καὶ χωρὶς ᾤκει καὶ ἄνδρα ἔσχεν.* 36. §. 4: *ὁ Πασίων ἐμίσθωσε τούτῳ τὴν τράπεζαν — ἤδη καθ' ἑαυτὸν ὄντι.*

πάλιν] sc. *ἐμβαίνειν.* Inconstantiam Atheniensium orator ita notat, ut bis consilium mutavisse dicantur. Quum enim primum metoecos mittere, deinde ipsi naves conscendere constituissent, denique metoecos rursus mittere placet. Quod vulgo legebatur, sensu carebat: aut *αὐτοὺς* aut *ἀντεμβαίνειν* scribi oportebat. Nunc omnia planissima. Cf. Thucyd. 7, 13: *εἰσὶ δ' οἳ — ἀνδράποδα Ὑκκαρικὰ ἀντεμβιβάσαι ὑπὲρ σφῶν πείσαντες τοὺς τριηράρχους —.* Isocr. 8. §. 48: *τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰςεβίβαζον.*

§. 37. *μέλλεται*] Schaeferus bene monuit *μέλλετε* personam secundam ab hoc loco alienam esse, quum prima ubique legatur. De passivo h. v. v. Krüger. ad Xen. Anab. 3, 1, 47.

τὸ ἐφ' ὃ] Matth. gr. §. 287. Bernhardy S. Gr. p. 313, 4.

τὸ παρασκευάζεσθαι ἀναλίσκομεν, οἱ δὲ τῶν πραγμάτων οὐ μένουσι καιροὶ τὴν ἡμετέραν βραδυτῆτα καὶ εἰρωνείαν. ἃς δὲ τὸν μεταξὺ χρόνον δυνάμεις οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς.

ΕΠΙΣΤΟΛΑΙ.

38 Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων ἀληθῆ μέν ἐστι τὰ πολλά, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. ἀλλ' εἰ μέν, ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων

οὐ μένουσι καιροὶ Σ: καιροὶ οὐ μένουσι b. — δὲ τὸν b cum Σ: erat δ' εἰς τόν.
§. 38. ἃ Σ: ὅσα b.

Thucyd. 1, 142: τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί. Aeschin. 3. §. 163: καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. Livius 31, 48: non exspectare belli tempora moras et dilationes imperatorum. DOBR.

ἃς — — ἐξελέγχονται] Paucas naves Athenienses, ut specularentur, mittere solebant easque, dum maior expeditio pararetur, sufficere (τὸν μεταξὺ χρόνον ὑπάρχειν) putabant; sed si quid gerendum esset, tempore opportuno ipso apparebat (ἐπὶ τῶν καιρῶν ἐξελέγχονται), quam nihil prodessent.

ΕΠΙΣΤΟΛΑΙ] Quod ante Bekkerum legebatur, ΕΠΙΣΤΟΛΗ, Schaefero aliisque videtur restituendum esse, ita ut τοιαύτας ἐπιστολάς explicent: qualis haec est quam audietis. Sed quidni plures fuerint, ad Eretrienses, Chalcidenses, Hestiaeenses, alias civitates datae? Immo non facile intelligitur, quomodo Philippus ad Euboeenses omnes unam eandemque epistolam mittere potuerit. — Videtur autem Euboeensium animos Philippus ita ad societatem secum faciendam pellexisse, ut imbecillitatem Atheniensium, qui se ipsos tueri non possent, ostenderet.

§. 38. οὐ μὴν] sc. ἔδει οὕτως ἀληθῆ εἶναι. Cf. Matth. §. 605. Rost. §. 133, 4. Or. 1. §. 4. 2. §. 22. 5. §. 3. Vera esse concedetis, sed parum iucunda ideoque silentio praetermittenda esse dicetis. Cf. or. 3. §. 18. 22.

ὅσα —] si quis eas res quas dicendo praetermiserit etiam ipsas transsilire (h. e. ut ne quid sibi noceant efficere) potuerit. Quum exspectares oratorem dicturum esse: καὶ ἔργῳ ὑπερβήσεται, maluit cum aliqua anacoluthia τὰ πράγματα sensu emphatico dicere; ut vero hoc sensu accipi possit, satis efficitur oppositione verborum λόγῳ et πράγματα. Qui τὰ πράγματα subiectum v. ὑπερβήσεται esse voluerunt, non meminerant ὑπερβαίνειν nun-

χάρις, ἂν ᾖ μὴ προςήκουσα, ἔργῳ ζημία γίγνεται, αἰ-
σχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενακίζειν ἑαυτούς,
καὶ ἅπαντ' ἀναβαλλομένους, ἃ ἂν ᾖ δυςχερῆ, πάντων
ὑστερίζειν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, 39
ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολου-
θεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν
πραγμάτων, καὶ τὸν αὐτὸν τρόπον, ὥςπερ τῶν στρα-
τευμάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω
καὶ τῶν πραγμάτων τοὺς βουλευομένους, ἵν' ἃ ἂν ἐκεί-
νοις δοκῇ, ταῦτα πράττηται καὶ μὴ τὰ συμβάντα ἀναγ-
κάζωνται διώκειν. ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, 40
πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας,
ἱππέας, χρημάτων πρόςοδον, τούτων μὲν μέχρι τῆς τή-

§. 39. *ἀξιώσειέ τις ἂν* ΣΤψ A[1]H: *ἀξιώσειεν ἄν τις* b. — *βουλευομένους* Σ: *εὖ βουλευομένους* b, *εὖ βουλευομένους ἡγεῖσθαι χρή* ceteri.

quam ita dici, ut sit praeterire sensu intransitivo.

χάρις] or. 9. §. 2 sqq. Isocrat. 8. §. 9 sqq.

§. 39. *οὐκ*] cum v. *δεῖ* coniungendum est; cf. Rost. gr. §. 135, 3. D. — Cogitando praevertere decet res ipsas et praevidere omnia, neque vero ad ea quae facta sunt demum consilia sua accommodare. Si quem alium, imperatorem oportet esse Prometheum, non decet Epimetheum. Cf. §. 41.

καὶ τὸν αὐτὸν τρόπον —] h. e. *καὶ ὅτι δεῖ τοὺς βουλευομένους οὕτω τῶν πραγμάτων ἡγεῖσθαι, ὥςπερ — τὸν στρατηγὸν ἡγεῖσθαι.* Cf. 1. §. 15: *μὴ τὸν αὐτὸν τρόπον ὥςπερ οἱ δανειζόμενοι — ἀπέστησαν, οὕτω καὶ ἡμεῖς — φανῶμεν.* Cf. supra §. 21. — Livius 9, 18 extr.: at hercule reges non liberi solum impedimentis omnibus, sed domini rerum temporumque trahunt consiliis cuncta, non sequuntur.

βουλευομένους] *εὖ*, quod vulgo addebatur, ferri poterat; sed uti antea non dixit: *τὸν ἀγαθὸν στρατηγόν*, sed *τὸν στρατηγόν*, sic hic non dicendum erat eos qui bene deliberarent res ducere debere, sed eos qui deliberarent. *εὖ* verbis quae sunt *εἰδέναι* et *βουλεύεσθαι* saepe praeter necessitatem a librariis et hominibus doctis additum videas.

ἐκείνοις] *τοῖς βουλευομένοις.* Cum vi quadam dicitur pro eo quod dici poterat *αὐτοῖς*. Or. 18. §. 148: *εἰ μὲν τοίνυν τοῦτο ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου συμμάχων εἰςηγοῖτό τις.* Foertsch. observ. crit. ad Lys. p. 70 sqq. Stallb. ad Plat. Phaedon. p. 106. B.

διώκειν] Tempora rerum et consilia eorum, qui bellum gerunt, inter se certant quasi currendo. Qui rem parum callent, res ipsas semper anxie sequuntur nec unquam attingunt.

§. 40. *πλείστην δύναμιν*] or. 24. §. 216: *ἔσθ' ὅ τι κωλύει τὴν πόλιν μεγίστην εἶναι; οὐ*

μερον ἡμέρας οὐδενὶ πώποτε εἰς δέον τι κέχρησθε, οὐδὲν δ' ἀπολείπετε, ὥσπερ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖν Φιλίππῳ. καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν ἑτέρωσε πατάξῃς, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον

§. 40. εἰς δέον τι F Σ A² B et γρ. a^m: ἐν δέοντι b. — οὐδὲν Dobreeus: οὐδενὸς b. — ἀπολείπετε Σ: ἀπολείπεσθε b. — ὥσπερ Σ: ὥσπερ δὲ b. — πολεμεῖν pr. Σ: πο-

τριήρεις, ὅσας οὐδεμία πόλις Ἑλληνίς, κέκτηται; οὐχ ὁπλίτας; οὐχ ἱππέας; οὐ προσόδους; οὐ τόπον; οὐ λιμένας; 14. §. 13: ὁρῶν ὑμῖν (Atheniensibus) χιλίους μὲν ἱππέας, ὁπλίτας δὲ ὅσους ἂν ἐθέλῃ τις, ναῦς δὲ τριακοσίας. et §. 30: ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχον ἀφορμὴν ἑξακισχίλια τάλαντα ἀκούσεται. Boeckh. oecon. publ. I. p. 273 sq. 465 sqq.

εἰς δέον τι] Herodot. 2, 173: ὥστε ἐς τὸ δέον οὐκ ἂν ἔχοιεν αὐτοῖσι χρῆσθαι. Pericleum illud εἰς τὸ δέον: cf. Sintenis ad Plut. Pericl. 23. Demosth. 3. §. 28: πλείω — τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον. 4. §. 14: εἰς δέον λέγουσιν. 20. §. 26. 41. Verba δέον τι per errorem coniuncta effecerunt, ut ἐν reponeretur.

οὐδὲν δ' ἀπολείπετε] Verba, quae vulgo legebantur, οὐδενὸς δ' ἀπολείπεσθε nihil aliud significare possunt, nisi quod Schaeferus voluit: nihil intentatum relinquitis. Sed orator hic non Atheniensium consuetudinem omnia concupiscendi multisque rebus sese immiscendi reprehendit, sed temeritatem, qua quae facienda essent perverse facerent. Ea vero quae cod. Σ habet optime sententiae loci conveniunt: nihil reliquum facitis, quin, ut barbari luctantur, sic cum Philippo bellum geratis. Isaeus 1. §. 7: οὐδὲν ἀπολείποντες τῆς αὑτῶν δυνάμεως. Plat. Phaedon. p. 69. D: ὧν δὴ καὶ ἔγωγε — οὐδὲν ἀπέλιπον — γενέσθαι. Quod unum relictum erat vitium, bene correxit Dobreeus; cf. Sauppii epist. crit. ad G. Herm. p. 45 sq.

ὥσπερ οἱ βάρβαροι] Plat. Symp. p. 182. B: τοῖς γὰρ βαρβάροις — αἰσχρὸν τοῦτό γε, καὶ ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία. Krause de gymnastica et agonistica Graecorum vol. I. p. 24 sqq.

τῆς πληγῆς ἔχεται] Pugilis boni est ictus multos adversario infligere, sibi ipsi cavere ab omnibus; cf. Krause l. d. p. 509 sqq. Malus ictu perculsus manus parti corporis laesae admovet, partem laesam prehendit (ἔχεται), velut ictum illum repulsurus; dum admovet, novo ictu percellitur. — 18. §. 79: τῶν ἀδικημάτων — εἰχόμην ἐγὼ καὶ τούτοις ἠναντιούμην.

πατάξῃς] or. 21. §. 33: ἐὰν μὲν ἐστεφανωμένον πατάξῃς ἢ κακῶς εἴπῃς. Rost. gr. §. 100. annot. 2.

ἐκεῖσέ εἰσιν] illuc admotae sunt et ibi sunt, so sind sie dorthin. Herodot. 1, 21: ὁ μὲν δὴ ἀπόστολος ἐς τὴν Μίλητον ἦν. Nos dicimus: Er ist in die Stadt, in urbem ivit. — Poeta apud Plutarchum de garrul. p. 513. E: ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει.

προβάλλεσθαι· ἀντὶ τοῦ προτείνειν τὰς χεῖρας ὡς εἰς μά-

οὔτ᾽ οἶδεν οὔτ᾽ ἐθέλει. καὶ ὑμεῖς, ἐὰν ἐν Χεῤῥονήσῳ 41
πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε, ἐὰν ἐν Πύλαις, ἐκεῖσε, ἐὰν ἄλλοθί που, συμπαραθεῖτε ἄνω κάτω, καὶ στρατηγεῖσθε μὲν ὑπ᾽ ἐκείνου, βεβούλευσθε δ᾽ οὐδὲν αὐτοὶ συμφέρον περὶ τοῦ πολέμου, οὐδὲ πρὸ

λεμεῖτε b. — *πατάξῃς* Σ: *πατάξῃ τις* b.
§. 41. *ποι* Σ(αε)mA[I], *πῃ* Υ. — *ἄνω κάτω* b cum Σ: erat *ἄνω καὶ κάτω*. — *πρὸ* b cum Σ: erat *περί*.

χην, Harpocrat. p. 157, 3. Immo protendere manus, ut plagas a se avertat. Apollonius lex. Homer. p. 136, 14. Bkk.: *προτιβάλλεαι* (Hom. Il. 5, 879.) *ὁ μὲν Ἀπίων προκωλύεις· οἱ γὰρ πυκτεύοντες τῇ προβολῇ κωλύουσι.* Cf. Hesychius s. v. *προτιβάλλεαι*. Xen. Cyrop. 2, 3, 10: *καὶ ἐγὼ — ἐκ παιδίου εὐθὺς προβάλλεσθαι ἠπιστάμην πρὸ τούτων, ὅ τι οἰοίμην πληγήσεσθαι· καὶ εἰ μὴ ἄλλο μηδὲν ἔχοιμι, τὼ χεῖρε προέχων ἐνεπόδιζον, ὅ τι ἠδυνάμην, τὸν παίοντα, καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ᾽ αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλοίμην.* Parum accurate rem exponit Krausius l. d. p. 510. annot. 8. — Malus pugil et oculis et manibus ictum ab adversario inflictum sequitur, bonus adversarium intenta oculorum acie contra intuetur, omnem eius motum observat, omnes plagas praecavet.

§. 41. *καὶ* respondet ei quod praecedit *καὶ γὰρ* — —: et ex illis enim qui vulneratur — et vos —.

πύθησθε] addi solet *ὄντα*, sed cf. quae ad §. 18. adnotavimus. Adde 35. §. 42: *τὴν παιδείαν ταύτην, ἣν ὑμεῖς αἰσθάνεσθε πονηρὰν καὶ ἄδικον.*

ἄλλοθί που] Fuerunt quibus *ἄλλοθί ποι* placeret. Iisdem etiam placent *ἄλλοσέ που* et *ἄλλοσέ πῃ*, quae omnia, quanquam interdum in libris mss. inventa sunt, ferri non possunt. Horum adverbiorum enim tam facilis est permutatio, ut multo sanius videatur esse locos illos admodum paucos corrigere, quam credere Graecos fere semper his adverbiis ita usos esse, uti origo eorum et simplex ratio postulat, interdum vero omnia miscuisse. Quomodo *πῃ* sic dici possit, ut pro ceteris, *που* et *ποι*, usurpatum esse videatur, recte explicavit G. Stallbaumius ad Plat. Euthyphr. p. 94 sqq. ed. Lips. 1823. Quare hic *που*, Antiphont. 1. §. 4. *ποῖ — ἄλλοσε*, Lycurg. §. 27. et Demosth. 34. §. 37. *ἄλλοσέ ποι* videtur scribendum esse.

συμπαραθεῖτε] Qui tropus in hoc verbo insit, docet Luc. quom. hist. conscribi op. c. 45: *ἄμεινον οὖν ἐφ᾽ ἵππου ὀχουμένῃ τότε τῇ γνώμῃ τὴν ἑρμηνείαν πεζῇ συμπαραθεῖν, ἐχομένην τοῦ ἐφιππίου, ὡς μὴ ἀπολείποιτο τῆς φορᾶς.*

ἄνω κάτω, ἄνω καὶ κάτω, ἄνω τε καὶ κάτω nullo discrimine de iis, quae nullo ordine nulloque consilio agantur, dici, quid igitur quoque loco praeferendum sit, ex codicum auctoritate pendere constat post ea, quae F. G. Engelhardt adnotatt. critt. in Demosth. oratt. p. 28 sq., G. Graser adversar. Platon. p. 84., G. Stallb. ad Plat. Phaedr. p. 278. D. exposuerunt.

στρατηγεῖσθε] Ut milites ducis imperio obtemperare oportet, sic Athenienses Philippi arbitrio reguntur.

πρὸ videtur ob ea displicuisse

τῶν πραγμάτων προορᾶτε οὐδέν, πρὶν ἂν ἢ γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε. ταῦτα δ' ἴσως πρότερον μὲν ἐνῆν· νῦν δὲ ἐπ' αὐτὴν ἥκει τὴν ἀκμήν, ὥστ'
42 οὐκέτ' ἐγχωρεῖ. δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμενος τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν Φιλίππῳ. εἰ γὰρ ἔχων ὃ κατέστραπται καὶ προείληφεν ἡσυχίαν ἔχειν ἤθελε καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι δοκεῖ, ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχειρῶν ἀεί τινι καὶ τοῦ πλείονος ὀρεγόμενος ἴσως ἂν ἐκ-

ἐνῆν b cum Σ: *ἦν ποιεῖν* F, *ἐνῆν ποιεῖν* ceteri.
§. 42. **ἀπεγνώκατε** b cum ΣΗ: *ἑαυτῶν ἀπεγνώκατε* FT, *αὑτῶν ἀπεγνώκατε* uv, *αὐτῶν ἀπεγνώκατε* Ω.

quae sequuntur: *πρὶν — πύθησθε*, sed saepissime similem epexegesin addi non est quod exemplis demonstremus. Cf. 5. §. 2.

πρότερον] antequam Philippus tantam potestatem adeptus est, ut res in discrimen adduceretur.

ἐνῆν] Verbum *ἐνεῖναι* plerumque impersonaliter dicitur; sed interdum subiectum addi exemplis docuit Funkhaenel quaest. Dem. p. 31. et in annall. Zimmermanni 1833. p. 210. Quod qui non meminissent, *ποιεῖν* addiderunt.

ἐπ' αὐτὴν ἥκει τὴν ἀκμήν] *ἀκμὴ* est acies, deinde momentum: *αὐτὴ ἡ ῥοπὴ τῆς τοῦ πράγματος ἐπιτάσεως*, Bekk. anecd. p. 365, 10. Eurip. Phoen. 1087 sq.: ΙΟΚ. *ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;* ΝΥΝΤ. *ἀκμὴν γ' ἐπ' αὐτήν.* Aristoph. Plut. 255: *ὡς ὁ καιρὸς οὐχὶ μέλλειν, ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ἡ δεῖ παρόντ' ἀμύνειν.* De proverbiali dicendi genere *ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς τὰ πράγματα* cf. Valck. ad Herodot. 6, 11. Leutschius ad Diogenian. 4, 41. p. 238.

ἐγχωρεῖ] sc. *ταῦτα*. Plat. Soph. p. 246. D: *εἰ δὲ τοῦτο μὴ ἐγχωρεῖ, λόγῳ ποιῶμεν.*

§. 42. De cupiditate et strenuitate Philippi v. 1. §. 14 sqq.

ἀποχρῆν] multi, opinor, acquiescerent hoc rerum statu; sibi multa erepta esse, Philippum multa acquisivisse et habere patienter ferrent. Conf. n. ad §. 13.

ἐξ ὧν] ex qua re, si vos acquiesceretis.

ὠφληκότες ἂν ἦμεν] *ὀφλεῖν* (damnatum esse) saepissime cum vv. *γέλωτα, αἰσχύνην, μωρίαν*, similibus coniungitur: intpp. ad Soph. Antig. 468. Horat. Od. 1, 14, 15. Cf. or. 2. §. 3. Quum vero et poena et crimen ad v. *ὀφλεῖν* addi soleat, hic *αἰσχύνην* et *ἀνανδρίαν* coniuncta sunt.

ἐκκαλέσαιθ'] vos, qui desides domi manetis, fortasse provocare, excitare poterit, ut prodeatis et pugnetis. Polyb. 16, 9, 5: *δι' ὧν (τιμῶν) — καὶ τοὺς ἐπιγενομένους ἐξεκαλέσαντο πρὸς τοὺς ὑπὲρ τῆς πατρίδος καιρούς.* Aeschines 2. §. 3:

καλέσαιθ᾽ ὑμᾶς, εἴπερ μὴ παντάπασιν ἀπεγνώκατε. θαυ- 43
μάζω δ᾽ ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ᾽ ἐνθυμεῖται μήτ᾽
ὀργίζεται ὁρῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν
τοῦ πολέμου γεγενημένην περὶ τοῦ τιμωρήσασθαι Φί-
λιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ πα-
θεῖν κακῶς ὑπὸ Φιλίππου. ἀλλὰ μήν, ὅτι γε οὐ στή-
σεται, δῆλον, εἰ μή τις κωλύσει. εἶτα τοῦτ᾽ ἀναμενοῦ-
μεν, καὶ τριήρεις κενὰς καὶ τὰς παρὰ τοῦ δεῖνος ἐλπί-
δας ἐὰν ἀποστείλητε, πάντ᾽ ἔχειν οἴεσθε καλῶς; οὐκ 44
ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρα-
τιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον; οὐκ ἐπὶ τὴν

§. 43. ὀργίζεται b cum ΣΤφ: erat λογίζεται. — κωλύσηι FΣB.

τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται.

ἀπεγνώκατε] wenn ihr nicht vollständig entsagt habt. Modo accusativus additur, modo genitivus, modo infinitivus, modo nihil additur. Or. 6. §. 16: εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους. Xen. An. 1, 7, 19: ἔδοξε — Κύρῳ — ἀπεγνωκέναι τοῦ μάχεσθαι. Arrian. Anab. 5, 24, 12: ὡς δ᾽ ἀπέγνω διώκειν. Demosth. 3. §. 33: οὔτ᾽ ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ. Apparet, quomodo saepe verbo quod est desperare reddi possit. Genitivum, qui vulgo h. l. additur, glossema esse apparet.

§. 43. ὀργίζεται] miror, si tam estis stupidi, ut non in mentem veniat, quae iam sit Philippi rerum conditio, et si tam estis lignei, ut, si intellexeritis, non indignemini. λογίζεται ortum est, quod verbum similis significationis ἐνθυμεῖται praecedit.

τιμωρήσασθαι] cf. §. 7. Aeschines 2. §. 21. 70 sqq.

στήσεται] 21. §. 102: οὐ μὴν ἐνταῦθ᾽ ἕστηκε τὸ πρᾶγμα. Nunc bellum gerendum est, ne nos ipsos aggrediatur Philippus. Ne quis enim speret illum iis quae circa Macedoniam sunt expugnatis finem impositurum esse bello; certum est nos ipsos petitum iri.

κωλύσει] Funkhaenelio quaest. Dem. p. IX. non displicet κωλύσῃ. Cf. Rost. gr. §. 121. annot. 10. Sed apud Demosthenem certum exemplum coniunctivi post p. εἰ positi non exstat; praestat igitur κωλύσῃ errori scribarum tribuere perfacili.

εἶτα] Rost. gr. p. 670. Matth. gr. §. 603. p. 1427.

τριήρ. κενὰς] cf. 3. §. 5.

δεῖνος] cf. §. 45. Si quis orator in concione bellum facili opera confici posse iactaret commentaque sua blanda oratione explicaret, credula multitudo his spei fallacibus delectamentis capta copias mittebat, bello bene gerendo parum idoneas. Cf. §. 14. 19.

§. 44. Vehementiam orationis brevitate commatum et multitudine interrogationum effectam facile quivis persentiscet.

οὐκ ἐμβησόμεθα; — — πλευσόμεθα;] Tria hac una interrogatione complectitur: hortatur, ut ipsi eant, ut certe parvam civium manum mit-

ἐκείνου πλευσόμεθα; Ποῖ οὖν προσορμιούμεθα; ἤρετό τις. εὑρήσει τὰ σαθρά, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐκείνου πραγμάτων αὐτὸς ὁ πόλεμος, ἂν ἐπιχειρῶμεν· ἂν μέντοι καθώμεθα οἴκοι λοιδορουμένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ᾽ οὐδὲν
45 ἡμῖν μὴ γένηται τῶν δεόντων. ὅποι μὲν γὰρ ἄν, οἶμαι, μέρος τι τῆς πόλεως συναποσταλῇ, κἂν μὴ πᾶσα, καὶ

§. 44. πλευσόμεθα ΣΥ: πλευσούμεθα b. — οὖν b cum Σ: erat δή. — μὴ ΥΑ[1]: οὐ μὴ b.
§. 45. πᾶσα Σ: πᾶσα παρῇ b. — συναγωνίζηται Σ:

tant, ut certe nunc faciant, quod tam diu neglexerint. Limitat vero priora posterioribus. Cf. §. 6. De forma πλευσόμεθα cf. Matth. gr. p. 643. or. 7. §. 15. 19. §. 250.

οὖν] Hac particula utitur qui sub specie assentientis quaestione sua alterius rationes turbare studet. δή mirationem potius vel admirationem eius, qui quaerit, exprimit, quomodo id quod quaerit cum iis quae antea commemorata erant conveniat. Prius illud hoc loco multo aptius videtur esse.

ἤρετό τις] Dicere poterat ἔροιτ᾽ ἄν τις, sed fingit re vera aliquem hoc interrogavisse. Sic Latini inquit ponunt: intpp. ad Horat. Sat. 1, 4, 78. ad Liv. 34, 3. Cf. §. 11.

εὑρήσει τὰ σαθρά] or. 2. §. 21. — Tacitus Hist. 2, 77: aperiet et recludet contecta et tumescentia victricium partium volnera bellum ipsum.

λοιδορουμένων ἀκούοντες] cf. §. 46. Aristoteles rhet. 3, 17. (p. 1418, 29 Bk.): δεῖ οὖν ἀπορῶντα τοῦτο ποιεῖν, ὅπερ οἱ Ἀθήνησι ῥήτορες ποιοῦσι καὶ Ἰσοκράτης· καὶ γὰρ συμβουλεύων κατηγορεῖ. — τῶν λεγόντων, h. e. oratorum: or. 1. §. 28. 3. §. 21. 24.

μὴ] Negationes plures ita positae (οὐδέποτ᾽ οὐδὲν οὐ), ut quae ad totum comma pertineat sequatur, quae ad partes eius commatis, praecedant, se tollunt et affirmant. οὐ igitur delendum erat. Ea deleta sensus hic est, quasi dictum sit: οὐ μὴ γένηταί ποτέ τι τῶν δεόντων. 6. §. 24: οὐδὲν μὴ δεινὸν πάθητε. 18. §. 246: οὐδεὶς μή ποθ᾽ εὕρῃ κατ᾽ ἐμὲ οὐδὲν ἐλλειφθέν. 22. §. 39: καὶ δίκην οὐδεὶς οὐδεμίαν μὴ δῷ. 23. §. 179: ὅτι τῶν πρὸς ὑμᾶς οὐδὲν μὴ δυνηθῇ πρότερον λῦσαι. Plat. Charmid. p. 168. D: ἄχρων γὰρ ὄψις οὐδὲν ἂν μή ποτ᾽ ἴδῃ. Sophist. p. 235. C: πάντως οὔτε οὗτος οὔτε ἄλλο γένος οὐδὲν μή ποτε ἐκφυγὸν ἐπηύξηται τὴν — μέθοδον. Criton. p. 44. B: οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω. Epistol. 7. p. 344. A: οὐδένες τούτων μή ποτε μάθωσιν ἀλήθειαν ἀρετῆς. Xen. Anab. 4, 8, 13: οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων. Lucian. Piscat. c. 18: θαῤῥεῖτε· οὐδὲν μὴ γένηται ἄδικον. Hoc quod G. Hermannus ad Eurip. Iph. T. 886. coniectura assecutus erat nunc cum codd. AB dedit C. Iacobitz, quum vulgo esset οὐδὲν οὐ μὴ γ. Dialog. marin. 6, 3: Θάῤῥει· οὐδὲν δεινὸν μὴ πάθῃς. Sic cum cod. B. scripsit Iacobitz, quum in aliis libris esset οὐδὲν δεινὸν οὐ μὴ πάθῃς. Iure idem verba extrema Philopseudis: ὡς χρωμένους ἡμᾶς οὐδὲν οὐ μὴ ταράξῃ, ita corrigi voluit, ut οὐ deleret. Similiter ποτε interdum ante particulam μή ponitur: Plat. Legg. 12. p. 942. C: τούτου γὰρ οὔτ᾽ ἔστιν οὔτε ποτὲ

τὸ τῶν θεῶν εὐμενὲς καὶ τὸ τῆς τύχης συναγωνίζεται· ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας ἐκπέμψητε, οὐδὲν ὑμῖν τῶν δεόντων γίγνεται, ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἕνα ἄνδρα δυνηθῆναί ποτε ταῦθ' 46
ὑμῖν πρᾶξαι πάνθ', ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι

ὑμῖν συναγωνίζηται Τ(αε)=A¹A²H, ἡμῖν (ὑ) συναγωνίζηται FB, ἡμῖν συναγωνίζηται b.

μὴ γένηται κρεῖττον — εἰς σωτηρίαν. Cf. Schaef. app. Demosth. II. p. 321.

§. 45. πᾶσα] παρῇ addiderunt quibus particula κἂν verbum videbatur requirere, quum non intelligerent ex eo quod praecedit συναποσταλῇ, bene posse cogitando addi ἀποσταλῇ. Non minus recte enim dicitur πᾶσα ἀποστέλλεται ἡ πόλις, quam μέρος τῆς πόλεως συναποστέλλεται pro eo quod exspectares τῶν πολιτῶν.

τὸ τῶν θεῶν (cf. ad §. 12.) εὐμενὲς (sc. αὐτῇ ἐστι). — αὐτῇ cogitando etiam ei quod sequitur συναγωνίζεται addendum est, ut facile sit intellectu, quam parum apte in libris ἡμῖν vel ὑμῖν additum sit.

ψήφισμα] cf. §. 19. 30.

τεθνᾶσι κτλ.] Haec verba antiquos grammaticos (cf. Photius bibl. p. 426. a. 24. Bk. Glycas de syntaxi p. 42 sq.) non minus exercuerunt quam hh. dd. horum temporum. Alii enim (Rost. gr. p. 492.) ex v. δέει supplendum esse dicunt partic. δεδιότες, unde pendeant accusativi τοὺς τ. ἀποστόλους. Quod quomodo defendi possit non video. Alii (Abresch. ad Aeschyl. p. 57. 631., Bernh. S. Gr. p. 114., Engelh. adnott. critt. in Demosth. p. 39., Ellendt. ad Arrian. 7, 9, 6.) accusativos ex v. δέει pendere dicunt. Sed primum hoc tam durum et obscurum videtur esse, ut difficile sit dictu, cur accusativum quam genitivum orator ponere maluerit. Deinde loci ii, quibus δέος cum accusativo coniunctus esse dicitur, aliter comparati sunt; v. or. I. §. 3. Denique Arrianus l. d. verba certe non ita collocasset: οὓς πάλαι ἐτεθνήκειτε τῷ δέει, si accus. οὓς ex v. δέει pendere putavisset. Iure igitur G. Herm. ad Eur. Bacch. 600. et Schaef. app. Dem. I. p. 375., II. p. 503., IV. p. 603. τεθνάναι τῷ δέει, quum ad sensum idem sit, quod μάλα δεδιέναι, cum accusativo obiecti coniungi posse dixerunt, ex ea consuetudine Graecorum, quam multis exemplis illustrant Matth. gr. §. 421. adn. 4. et Rost. gr. §. 104. adn. 5. 6. — Similiter Demosth. 19. §. 81: ὁ δῆμος ὁ τῶν Φωκέων οὕτω — διάκειται, ὥστε — δουλεύειν καὶ τεθνάναι τῷ φόβῳ Θηβαίους καὶ τοὺς Φιλίππου ξένους. Locos imitatorum indicavit Schaef. app. IV. p. 603. — De timore sociorum ipso cf. §. 24.

§. 46. Quum in compluribus cdd. ἂν post ἄνδρα additum sit et homines docti quidam δυνηθῆναι non recte intellexerint, opus est monitu sensum esse: fieri non potest, ut vir unus (imperator: §. 45.) unquam *possit* omnia praestare. Rost. gr. §. 117, 2. — Zenobius 3, 51: εἷς ἀνὴρ οὐδεὶς ἀνήρ: παρόσον ὑπὸ ἑνὸς οὐδὲν κατορθοῦται. Cf. Leutsch, p. 69.

ὑποσχέσθαι] Pollicitatio-

καὶ φῆσαι καὶ τὸν δεῖνα αἰτιάσασθαι καὶ τὸν δεῖνα ἔστιν. τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν· ὅταν γὰρ ἡγῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ' ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε ὅ τι ἂν τύχητε ψηφίζησθε, τί καὶ χρὴ προσδοκᾶν;

47 Πῶς οὖν ταῦτα παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων καὶ δικαστὰς οἴκαδ' ἐλθόντας τῶν εὐθυνῶν, ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέ-

§. 46. πράξῃ ΣΒΑ[2]: ἐκεῖ πράξῃ b. — τύχητε b cum Σ: τύχῃ F, τύχῃ ῥᾳδίως ceteri (A[2] hoc ordine: ῥᾳδίως ὅ τι ἂν τύχῃ).

num vanitate non unus, sed maxime insignis fuit Chares. Zenob. 2, 13: αἱ Χάρητος ὑποσχέσεις: ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων πολλά. Cf. Schneidewin. p. 34.

ἐκ τούτων] res, quas suscipiebatis, propterea (cf. §. 42: ἐξ ὧν) perditae sunt; cf. 23. §. 104: τὰ δὲ πράγματα ἀπολώλει τῇ πόλει.

ἀπομίσθων] ἀπόμισθοι οἱ μισθὸν μὴ λαμβάνοντες. Harpocrat. p. 28, 21. Aliter dicitur 23. §. 154: ὡς ἀπόμισθος γίγνεται παρὰ τοῦ Τιμοθέου τότε. Cf. Bekk. anecd. p. 431, 21: ὁ μισθοῦ πράξας ἔργον τι καὶ ἀφειμένος. — De re cf. §. 24. or. 2. §. 28. 50. §. 14. — Ἄθλιοι dicuntur ob id ipsum, quod ἀπόμισθοι sunt.

οἱ δ' — — ἐνθάδ' ὦσιν] h. e. ἐνθάδε δὲ ὦσιν οἱ ῥᾳδίως ψευδόμενοι πρὸς ὑμᾶς ὑπὲρ (cf. §. 1.) τούτων, ἃ ἂν ἐκεῖνος πράξῃ. — Imperatores, ut calumnias oratorum effugerent, magnam saepe vim pecuniae iis distribuebant, Aeschin. 2. §. 71. Theopompus Athenaei XII. p. 532. C.

πράξῃ] Ubinam versatur imperator? Num orator de certo aliquo loco et expeditione loquitur? Minime: communiter dicit imperatores laboribus et negotiis cum molestia defungi, demagogos inertes in urbe manere et vociferari. ἐκεῖ igitur parum aptum erat. Additum est ab iis qui ei quod sequitur ἐνθάδε aliquid oppositum esse vellent. Quod schol. August. dicit, haec ad Cephisodotum (Sievers hist. Graec. p. 302 sq.) pertinere, quo iure quave iniuria dictum sit, non patet, sed saepissime talia evenisse docet §. 47. Scholiastam vero ea quae or. 23. §. 153 sqq. narrantur facile poterant movere, ut etiam hunc locum ad eum referret.

τύχητε] sc. ψηφιζόμενοι. Personaliter usurpatum v. τυγχάνειν librariis saepissime displicuit. 9. §. 54: ἧς τινος ἂν τύχητε ἕνεκ' αἰτίας — λέγειν κελεύετε. 15. §. 16: τάχ' ἄν, εἰ τύχοιεν, σωφρονέστεροι γένοιντο. Quod vulgo addebatur ῥᾳδίως glossema esse apparet.

τί καὶ χρὴ] Matth. gr. p. 1483. Hartung. part. Gr. I. p. 135 sq.

§. 47. πῶς] Parum accurate interrogatio orditur a particula πῶς, quum sequatur ὅταν. SCHAEF. Sed vocabula temporis et ea, quibus modus rei peragendae indicetur, haud raro inter se commutantur: nam etiam

τερ' αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν. νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥςτε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου, πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προςήκοντος· κακούργου μὲν γάρ ἐστι κριθέντ' ἀποθανεῖν, στρατηγοῦ δὲ μαχόμενον τοῖς πολεμίοις. ἡμῶν δ' οἱ μὲν περιιόντες 48
μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν καὶ τὰς πολιτείας διασπᾶν, οἱ δ' ὡς

§. 48. ἡμῶν Σθm: ἡμῶν (ὑ) TB, ὑμῶν b.

tempus ad modum pertinet, quo quid factum est.

τῶν στρατ.] cf. §. 25.

εὐθυνῶν] Hermann. antiqu. publ. Gr. §. 147. 154. Schoemann. antiqu. 5, 39.

ὑμᾶς — παρόντας] Poterat orator omisso pronomine ὑμᾶς dicere παρόντες, sed maluit infinitivo accusativum addere, ut iuxta positis vv. ὑμᾶς τὰ ὑμέτερα αὐτῶν maiore cum vi significaretur, quam perversum esset, quod facere solerent, ut fando tantum de rebus suis ipsorum audirent. Cf. Rost. gr. §. 126. annot. 3.

δὶς καὶ τρὶς] Timotheum et Iphicratem plus semel accusatos esse constat; sed de illis ducibus fortissimis non videtur cogitavisse. Autoclem (23. §. 104.), Cephisodotum (23. §. 153 sqq.), Leosthenem (Diod. 15, 95.), Callisthenem (Aeschin. 2. §. 30.), Charetem (Aeschin. 2. §. 71.) intelligi verisimile est. Cf. or. 2. §. 29.

περὶ θανάτου] Isocr. 15. §. 129: τοσαύτας πόλεις ἑλόντα — περὶ προδοσίας ἔκρινε. Aeschin. 2. §. 165: τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. Hic orator ob ea quae sequuntur ἀγωνίσασθαι περὶ θανάτου sic videtur dixisse.

ἀνδραποδ. κτλ.] Meier de iud. Att. p. 76. 228 seqq. 356 sqq.

§. 48. ἡμῶν eo quod sequitur περιερχόμεθα satis defenditur. — Rumoribus levibus et narrationibus, quanta Philippus moliatur, quanta sint potestatis Philippi omnibus locis incrementa, vanam novarum rerum cupiditatem (cf. §. 10.) oblectare et quid tandem Philippus ausurus sit verbis efferre malebant, quam, quod unum necessarium erat, intelligere, Philippum hostem esse Atheniensium et strenue rem contra eum agendam esse (§. 50.).

περιιόντες] cf. §. 10.

μετὰ Λακεδαιμονίων] Lacedaemonios odium in Thebanos inveteratum habuisse et civitates ab optimatibus ut regerentur efficere studuisse constat (Herm. antiqu. Gr. §. 32, 8. Schoem. ant. 6. §. 29.). Philippus in expeditionibus Thessalicis odii causas in Thebanos invenisse poterat; penes singulos eum summam potestatem in singulis civitatibus esse voluisse docent respublicae Euboeae, Thessaliae, Peloponnesi.

τὰς πολιτείας] Harpocrat. p. 154, 26: ἰδίως εἰώθασι τῷ ὀνόματι χρῆσθαι οἱ ῥήτορες ἐπὶ τῆς δημοκρατίας. Herm.

πρέσβεις πέπομφεν ὡς βασιλέα, οἱ δ' ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν, οἱ δέ — λόγους πλάττοντες ἕκαστος περι-
49 ερχόμεθα. ἐγὼ δ' οἶμαι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεούς, ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα καὶ τοῖς πεπραγμένοις ἐπηρμένον, οὐ μέντοι γε μὰ Δί' οὕτω προαιρεῖσθαι πράττειν, ὥςτε τοὺς ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι, τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογο-
50 ποιοῦντες. ἀλλ' ἐὰν ἀφέντες ταῦτ' ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ καὶ χρόνον πολὺν ὕβρικε, καὶ ἅπανθ' ὅσα πώποτ' ἠλπίσαμεν

§. 50. ἄνθρωπος Bekkerus: libri ἄνθρωπος.

ant. Gr. §. 52, 14. — Infin. *διασπᾶν* (evertere, aus den Fugen bringen; cf. Xen. Cyr. 8, 5, 25: *νόμους διασπᾶν πειρᾶται*) pendet ex v. *πράττειν* (efficere studere, ut): or. 32. §. 8: *μὴ καταπλεῖν Ἀθήναζε τὸ πλοῖον ἔπραττε.* coll. §§. 22 et 23.

ὡς βασιλέα] Quo consilio legatos a Philippo ad regem Persarum missos esse opinati sint, parum liquet. Ex iis, quae deinde (§. 49.) dicuntur, superbiam Philippi in eo conspicuam fuisse apparet. Possis igitur de conditionibus foederis iciendi regi oblatis, vel de civitatibus Graecis Asiae maritimis ab imperio Persico liberandis, vel de aliis rebus similibus cogitare.

Ἰλλυριοῖς] Quinque annis ante tempus huius orationis Illyrios, iam plus semel antea a Philippo ipsos victos, iterum a Parmenione fusos esse testatur Plutarchus Alexandri c. 3.

οἱ δὲ —] Abrupta enarratione eorum, quae singuli commenti sint, breviter quid omnes faciant subiicit. Signum orationis abruptae ante nos deerat.

ἕκαστος] Rost. gr. §. 101, 3. b.

§. 49. *μεθύειν*] tropus est omnibus fere linguis communis, ut res quae animum magna laetitia perfundant cum mero, gaudium ipsum cum ebrietate compararentur. Plat. Civit. 8. p. 562. D: *ὅταν — δημοκρατουμένη πόλις ἐλευθερίας διψήσασα — ἀκράτου αὐτῆς μεθυσθῇ.* Horat. Od. 1, 37, 10: (Cleopatra) quidlibet impotens sperare fortunaque dulci ebria.

ὀνειροπολεῖν] *κοινὸν γάρ ἐστι τῶν μεθυόντων τὸ ὀνειροπολεῖν.* Hermog. π. εὑρέσ. 4, 10. p. 176. W.

ἐρημία] vacuitas, absentia. Eurip. Hecub. 1017: *τἄνδον δὲ πιστά, κἀρσένων ἐρημία;* Demosth. 3. §. 27: *ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι.* Imitatus est auctor or. 13. §. 19: *τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων.* — De participio fut. cf. §. 23.

οὐ μέντοι γε] Matth. gr. p. 1489.

ὥςτε — — εἰδέναι] Philippi erat consilia callidissime tegere et dissimulare, ut saepe prius perfecta esse quam inita viderentur.

§. 50. *ἐκεῖνο* ad ea perti-

τινα πράξειν ὑπὲρ ἡμῶν καθ' ἡμῶν εὕρηται, καὶ τὰ λοιπὰ ἐν αὐτοῖς ἡμῖν ἐστι, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, — ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες καὶ λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλ', ἂν μὴ προςέχητε τοῖς πράγμασι τὸν νοῦν καὶ τὰ προςήκοντα ποιεῖν ἐθέλητ', εὖ εἰδέναι.

Ἐγὼ μὲν οὖν οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἱλόμην 51
λέγειν, ὅ τι ἂν μὴ καὶ συνοίσειν πεπεισμένος ὦ, νῦν τε ἃ γιγνώσκω πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαῤῥησίασμαι. ἐβουλόμην δ' ἄν, ὥςπερ ὅτι ὑμῖν συμ-

§. 51. *συνοίσειν* Σ: *συνοίσειν ὑμῖν* b. cf. §. 8. 45. Sauppii epist. crit. p. 36. 46 sq.

net, quae sequuntur. Cf. 2. §. 24. F. A. Wolf. ad Leptin. p. 475, 13. Funkhaen. ad Androt. §. 17.

ἄνθρωπος] cf. 1. §. 3.

ὅσα — — καθ' ἡμῶν εὕρηται] Pollicitationibus Philippi ipsius (cf. ad or. 2. §. 6.), Charidemi Oritae (23. §. 156.), Cersobleptae, aliorum, Athenienses saepissime iam decepti erant. Illi omnes Atheniensibus multa pollicendo suum ipsorum commodum secuti erant. Sensus igitur hic est: Quae quidam videbantur pro nobis facere velle, ea illi contra nos fecisse reperti sunt. *πράξας* enim cogitando addendum est verbo *εὕρηται*. Cf. etiam §. 43. 45.

ἐν αὐτοῖς ἡμῖν ἐστι] Matth. gr. p. 1341 sq.

κἂν] cf. §. 19.

ἴσως] cf. §. 17.

ἐσόμεθα ἐγνωκότες] dann werden wir das, was Noth thut, erkannt haben, die richtige Einsicht in unsere Lage haben. De futuro exacto cf. Rost. gr. §. 116. adn. 9. Matth. gr. §. 498. p. 1120.

λόγων ματαίων et *οὐ γὰρ — σκοπεῖν* §. 48. explicantur.

ἀλλ' ὅτι — — εἰδέναι] h. e. *ἀλλὰ δεῖ εὖ εἰδέναι, ὅτι φαῦλα ἔσται* (adversa tantum factum iri).

§. 51. *ἄλλοτε*] Ex orationibus, quas prius habuit, exstant or. 14. *περὶ συμμοριῶν*, or. 16. pro Megalopolitanis habita, et or. 20. in causa publica adversus Leptinem dicta.

πρὸς χάριν] cf. §. 38.

ὅ τι ἂν — ὦ] *εἴην* exprimeret Demosthenem singulis temporibus non suasisse nisi ea quae reipublicae salutaria esse tunc sibi persuasum haberet; *ὦ* vero indicat Demosthenem quovis tempore consuetudinem ex vera animi sententia dicendi constanter tenuisse eamque consuetudinem etiamnunc tenere. Cf. Rost. gr. §. 123, 2. 122. adnot. 6.

οὐδὲν ὑποστειλάμενος] Saepissime ita loquuntur oratores, imagine a re navali petita. *ὑποστέλλεσθαι τὰ ἱστία*, vela contrahere, subducere. *οὐδὲν ὑποστειλάμενος* igitur erit: nullo velo subducto, nihil prae timore dissimulans, ohne allen Rückhalt.

φέρει τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον εἶπον. νῦν δ' ἐπ' ἀδήλοις οὖσι τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν, ἐὰν πράξητε, ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

εἶχον Σ. — συνοίσειν Σ: συνοίσειν ὑμῖν b.

συνοῖσον] sc. *τὸ τὰ βέλτιστα εἰπεῖν.* — Quod ad participium attinet, cf. 5. §. 4: *ἀκριβῶς εἰδὼς τὸ λέγειν — περὶ αὐτοῦ — ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν.*

εἶπον]. *εἶχον* defendi possit locis, qualis est or. 9. §. 63: *τοὺς Ὠρείτας ἥδιον — ἔχειν*; sed lectio vulgata et ad sensum aptior est et consuetudini oratoris convenientior.

ἐπ' ἀδήλοις κτλ.] quanquam parum constat quid inde mihi eventurum sit. Poterat dici: *ἀδήλων ὄντων τῶν — γενησομένων*, sed prothesis quae est *ἐπί* haud raro statum rerum quo quid fiat indicat: Matth. gr. §. 585. *β.* Ut vero quanquam addi possit, facit id quod sequitur *ὅμως*: Matth. §. 566. Apte interpretes cum h. l. contulerunt Thucyd. 8, 97: *ἐπὶ δ' οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι ναῦς τε εἴκοσιν ὅμως ἐπλήρουν καὶ ἐκκλησίαν ξυνέλεγον.*

ἐπὶ τῷ συνοίσειν — — πεπεῖσθαι] h. e. *λέγειν αἱροῦμαι ἐπὶ τῷ πεπεῖσθαι ταῦτα συνοίσειν, ἐὰν πράξητε*, quia persuasum habeo. De hoc usu pr. *ἐπί* cf. Matth. §. 586. *ε.* — Ne libertas consiliorum suorum sibi noceat, aliis quoque locis timet; cf. 3. §. 21. 32. 1. §. 16.

νικῴη — — συνοίσειν] Hanc sententiam, qua bonum civem tanquam summa norma omnia quae publice privatimque agat coercere oportet, haud raro Demosthenes repetit; cf. or. 3. extr. Plut. Demosth. c. 13: *Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος εἰώθει λέγειν πρὸς τὸν δῆμον· Ὁ μὲν ἀνὴρ ἐχθρός, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον.* Speciem enim bonorum etiam mali induere amant.

ΟΛΥΝΘΙΑΚΟΣ Α.

Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προςήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ

§. 1. ἂν om. Σ.

§. 1. Ἀντὶ πολλῶν — χρημάτων] Ingenium interpretum in his verbis explicandis luxuriavit. Aliis Demosthenes suspicionem pecuniae vel ab Olynthiis vel a rege Persarum acceptae ab se removere, aliis Eubuli largitionibus gratiam detrahere, aliis sumtuum in expeditionem Olynthiacam erogandorum invidiam elevare, aliis oratorum a Philippo magna vi pecuniae corruptorum nequitiam infamare voluisse visus est. Sed nihil in his verbis inest nisi hoc: Mihi videmini eo patriae amore esse, ut nihil magis quam intelligere cupiatis, quid patriae salutare futurum sit. Hoc simili ratione exprimit ac nos dicimus: viel Geld darum geben. Cf. Herodot. 1, 86: τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν. Xen. Comment. 2, 5, 3: τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πόνων πριαίμην ἂν μοι φίλον εἶναι. Isocr. 1. §. 37: πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. Ne quis vero πρό requirat pro eo quod orator posuit ἀντί, illud esset: si tibi consilium salutare et magnae opes offerantur, illud prae his eligere, hoc vero est: magnis opibus quas habeas consilium salutare si quis offerat redimere. — ἂν particula, quum oratio hypothetica sit, omitti non potest. — Miseram aequalium suorum pannos Demosthenicos orationibus suis adsuentium inertiam irrisurus Lucianus hoc loco festive usus est Iov. trag. c. 15.

